f. 99v ὡς ἐκ προσεχοῦς διαθέσεως, οὕτως | οἱ ἀστρολόγοι ἐκ τῶν οὐρανίων σωμάτων ὡς ἐκ πόρρω αἰτίων, ταύτης τῆς διαθέσεως. Καὶ οὕτως ἀληθεύει τὸ τοῦ Πτολεμαίου· „Ὅταν ἐν γενέσει τινὸς ὁ Ἑρμῆς ἔν τινι τῶν οἴκων τοῦ Κρόνου ᾖ, καὶ αὐτὸς δυνατὸς ᾖ, δίδωσιν ἀρετὴν τῇ νοήσει".

## LXXXV. — Ὅτι τὰ οὐράνια σώματα οὐκ εἰσὶ τῶν ἡμετέρων βουλήσεων ἢ αἱρέσεων αἴτια.

Ἡ γὰρ βούλησις ἐν τῷ νοερῷ μέρει τῆς ψυχῆς, ὡς ἐν τρίτῳ περὶ ψυχῆς· ἀλλ' εἰς τὸν ἡμέτερον νοῦν ἐδείχθησαν μὴ δύνασθαι δρᾶν τὰ οὐράνια σώματα, ὥστε οὐδ' εἰς τὴν ἡμετέραν θέλησιν ἄντικρυς.

Ἔτι, τὰ ἐκ τῆς δράσεως τῶν οὐρανίων ἐν τοῖς ὑποκάτω κατὰ φύσιν συμβαίνουσιν· ἀλλ' αἱρούμεθα πράττειν οὐ φυσικῷ νόμῳ, ἀλλ' ἰδίᾳ προθέσει· διὸ καὶ ἡ πρόθεσις καὶ ἡ φύσις δύο εἰσὶ ποιητικαὶ ἀρχαί. Καὶ τὰ μὲν κατὰ φύσιν γινόμενα ὡρισμένοις ἄγονται μέσοις ἐπὶ τὸ τέλος· ὅθεν καὶ ἀεὶ τὸν αὐτὸν ἀποβαίνουσι τρόπον. Διαφόροις δὲ ὁδοῖς πρὸς τὸ τέλος αἱ αἱρέσεις αἱ ἀνθρώπιναι τείνουσιν.

Ἔτι, τὰ μὲν φύσει, ὡς ἐπὶ τὸ πλεῖστον, ὀρθῶς γίνεται· ἀλλ' αἱ ἀνθρώπιναι αἱρέσεις οὐκ εἰσὶν ὀρθαί, ὡς ἐπὶ τὸ πλεῖστον. Οὐκ ἄρα φύσει εἰσίν.

Ἔτι, ἡ αἵρεσις ἡμῶν ἐν τῇ ἡμετέρᾳ δυνάμει ἐστίν· ἀλλὰ τὰ οὐράνια σώματα τῆς ἡμετέρας ἄρχει δυνάμεως ἐν οἷς τέτακται, τοῖς σωματικοῖς δηλονότι.

Ἔτι, ἀναιροῖτ' ἂν ἡ κοινωνικὴ ζωὴ ἐν ἀνθρώποις, εἰ αἱ θελήσεις ἡμῶν τῶν οὐρανίων σωμάτων προΐοιεν· εἰκῇ δ' ἂν καὶ αἱ ἐντολαὶ τοῦ πῶς ζῆν χρὴ ἐδίδοντο, εἰ μὴ τῶν ἰδίων αἱρέσεων ὁ ἄνθρωπος κύριος ἦν· εἰκῇ δ' ἂν ἐτάττοντο καὶ ἆθλα καὶ δίκαι, ὧν ἀναιρουμένων, τὸ κοινωνικὸν τῆς ζωῆς ἀπόλλυται.

Ἔτι, τὸ θέλειν ἐν ἡμῖν πᾶν εἶδος σωματικὸν ὑπερβαίνει, ὡς καὶ αὐτὸ τὸ νοεῖν. Ὡς γὰρ τὰ καθόλου νοοῦμεν, οὕτω καὶ ἡ βούλησις ἡμῶν ἐπὶ τὰ καθόλου φέρεται, ὥσπερ πᾶν λῃστῶν γένος μισοῦμεν, καὶ πᾶν γένος ἐπιεικῶν φιλοῦμεν. Οὐκ ἄρα ἐκ τῆς δράσεως τῶν οὐρανίων σωμάτων ἐστὶν ἐν ἡμῖν τὸ θέλειν· οὐδὲν γὰρ ποιεῖ ἐπ' ἐκεῖνα τῆς ἰδίας φύσεως. Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ἱερεμίᾳ· „Μὴ φοβεῖσθε ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ, ἅπερ τὰ ἔθνη φοβεῖται· οἱ γὰρ νόμοι αὐτῶν, μάταιοί εἰσιν".

Ἰστέον δὲ ὅτι, εἰ καὶ μὴ ἄντικρυς εἰς τὴν ἡμετέραν βούλησιν δρῶσιν, κατὰ συμβεβηκὸς μέντοι, καθόσον δρῶσι μὲν εἰς τὰ σώματα ἡμῶν ἄντικρυς,
f. 100 | διὰ δὲ τῶν σωμάτων χορηγοῦσί τινα αἴτια ταῖς ἡμετέραις αἱρέσεσιν. Οὐ μόνον γὰρ αἱ εἰς τὰ ἔξω σώματα δράσεις αὐτῶν αἴτιοι ἡμῖν γίνονταί

---

11 *ἐν τοῖς*: *ἐκ τοις* A par distraction  33 Ierm. 10, 2-3.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τινων αἱρέσεων, ὥσπερ τοῦ ἀέρος ψυχθέντος, αἱρούμεθα θερμαίνεσθαι τῷ πυρί, ἢ ἄλλο τι ποιεῖν τῷ καιρῷ πρέπον ἑκάστοτε, ἀλλὰ καὶ ἐκ τῆς τῶν ἡμετέρων σωμάτων μεταβολῆς, ἃ πάσχουσιν ἐξ ἐκείνων προδήλως, ἀνακύπτουσι παθῶν τινων ἐν ἡμῖν κινήσεις· ἢ ὅτι διὰ τῆς ἐκείνων ἐν ἡμῖν ἐνεργείας γινόμεθα ἐπιτήδειοι πρὸς πάθη τινά, ὥσπερ οἱ μελαγχολικοὶ ἕτοιμοί εἰσι πρὸς ὀργήν· ἢ ὅτι ἡ δρᾶσις ἐκείνων αἰτία ἐν ἡμῖν γίνεται σωματικῆς τινος διαθέσεως, ἥτις ἐστὶν αἱρέσεως τινὸς πρόφασις, ὥσπερ ἀρρωστοῦντες αἱρούμεθα θεραπεύεσθαι. Πολλάκις δὲ καὶ τὰ οὐράνια σώματα τῶν ἀνθρωπίνων ἐνεργειῶν αἴτια γίνονται, καθόσον ἐξ ἀνεπιτηδειότητος ἐρῶντές τινες γίνονται, τῆς τοῦ λόγου χρήσεως στερούμενοι, ἐν οἷς ἰδίως οὐκ ἔστιν αἵρεσις, ἀλλ᾽ ἄγονται φυσικῇ τινι παρωθήσει, ὡς καὶ τὰ ἄλογα. Φανερὸν δέ ἐστιν, ὅτι αἱ τοιαῦται ἐνέργειαι, εἴτ᾽ ἔξωθεν εἴτ᾽ ἔνδοθεν εἶεν, οὐκ εἰσὶν ἀναγκαῖα αἴτια τῶν αἱρέσεων, ἐπεὶ δύναται τούτοις ὁ ἄνθρωπος ἢ ἀνθίστασθαι διὰ τοῦ λόγου, ἢ ὑπείκειν, ἀλλὰ πλείους εἰσίν, οἳ ταῖς φυσικαῖς ὁρμαῖς ἕπονται, καὶ διὰ τοῦτό φησιν ὁ Πτολεμαῖος ὅτι ἡ σοφὴ ψυχὴ βοηθεῖ τοῖς ἔργοις τῶν ἄστρων, καὶ ὅτι οὐ δυνήσεται ὁ ἀστρολόγος κρίσεις κατὰ τοὺς ἀστέρας διδόναι, ἂν μὴ τὴν τῆς ψυχῆς δύναμιν καὶ τὴν κρᾶσιν καλῶς γνῷ.

## LXXXVI. — Ὅτι τὰ σωματικὰ ἀποτελέσματα ἐν τοῖς ὑποκάτω οὐκ ἐξ ἀνάγκης ἕπονται ταῖς κινήσεσι τῶν οὐρανίων σωμάτων.

Οὐ μόναις δὲ ταῖς ἀνθρωπίναις αἱρέσεσι τὰ οὐράνια σώματα ἀνάγκην ἐπιφέρειν οὐ δύνανται, ἀλλ᾽ οὐδὲ τὰ σωματικὰ ἀποτελέσματα ἐν τοῖς ὑποκάτω τούτοις ἐξ ἀνάγκης ἀπ᾽ ἐκείνων προΐασιν· τὰ γὰρ τῶν φυσικῶν αἰτίων δράσεις κατὰ τὸν ἑαυτῶν τρόπον τὰ ἀποτελέσματα δέχονται· τὰ δὲ ὑποκάτω ταῦτα τρεπτά εἰσι, καὶ οὐ τὸν αὐτὸν ἔχοντα τρόπον διὰ τὴν ὕλην, δυνάμει πρὸς πολλὰ εἴδη οὖσαν, καὶ διὰ τὴν τῶν εἰδῶν καὶ τῶν δυνάμεων ἐναντιότητα. Οὐκ ἄρα αἱ δράσεις τῶν οὐρανίων σωμάτων ἐν τοῖς ὑποκάτω | τούτοις ἐξ ἀνάγκης ἐγγίνονται. f. 100v

Ἔτι, ἡ μὲν κίνησις τῶν οὐρανίων σωμάτων τὸν αὐτὸν ἔχει τρόπον ἀεί· τὰ δὲ ὑποκάτω ταῦτα οὐκ ἀεί, ἀλλ᾽ ὡς ἐπὶ τὸ πλεῖστον τὰ αὐτὰ ἀποτελέσματα λαμβάνουσιν ἐκ τῆς τῶν οὐρανίων σωμάτων κινήσεως. Οὐκ ἄρα προΐασιν ἐξ ἀνάγκης· καὶ Πτολεμαῖος δὲ ἐν τῇ τετραβίβλῳ φησίν· „Οὐκ ὀφείλομεν νομίζειν ἀφύκτως τὰ μετέωρα προϊέναι, ὡς τὰ ἀπὸ θείας προνοίας γινόμενα, καὶ ἃ μηδένα τρόπον ἔστι διαφυγεῖν, καὶ τὰ κατὰ ἀλήθειαν καὶ ἐξ ἀνάγκης προϊόντα“. Ἔτι τε ἐν τῷ Γενεθλιαλογικῷ φησιν· „Αὗται δὲ αἱ κρίσεις, ἅς σοι παραδίδωμι, μεταξύ εἰσι τοῦ τε ἀναγκαίου καὶ δυνατοῦ“.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LXXXVII. — Ὅτι οὐδὲ τῇ δυνάμει τῆς κινούσης αὐτὰ ψυχῆς αἴτια τὰ οὐράνια τῶν ἀνθρωπίνων αἱρέσεων.

Ἀλλ' οὐδὲ τῇ δυνάμει τῆς κινούσης τὸν οὐρανὸν οὐσίας, εἴτε ἔμψυχόν τις αὐτὸν ὑποθοῖτο, εἴτε ὑπὸ χωριστῆς οὐσίας κινοῖτο, αἰτία τῶν ἡμετέρων ἐστὶν αἱρέσεων ἡ τοῦ οὐρανοῦ κίνησις. Πᾶν γὰρ ἀποτέλεσμα τοῦ ποιοῦντος διά τινος ὀργάνου προϊὸν οἰκείως ἔχει τῷ ὀργάνῳ, ὡς καὶ τῷ ποιοῦντι· οὐ γὰρ τῷ τυχόντι ὀργάνῳ πρὸς τὸ τυχὸν ἀποτέλεσμα χρώμεθα, ὥστ' οὐ δυνατὸν διά τινος γίνεσθαι ὀργάνου, ἐφ' ὃ κατ' οὐδένα τρόπον ἑαυτὴν ἐκτείνει ἡ τοῦ ὀργάνου δύναμις· ἡ δὲ τοῦ σώματος ἐνέργεια οὐδαμῶς ἑαυτὴν ἐκτείνει ἐπὶ τὸ τοῦ νοῦ καὶ τῆς θελήσεως ἀμετάβλητον, ὡς προαποδέδεικται, εἰ μὴ κατὰ συμβεβηκός, καθόσον ἐξ αὐτῶν μεταβάλλεται τὸ σῶμα, ὡς εἴρηται. Ἀδύνατον ἄρα τὴν ψυχὴν τοῦ οὐρανίου σώματος, ἢ τὴν κινοῦσαν αὐτὸ χωριστὴν οὐσίαν, εἰς τὴν βούλησιν δρᾶν καὶ τὸν νοῦν, τῆς οὐρανίου κινήσεως μεσιτευούσης.

## LXXXVIII. — Ὅτι αἱ χωρισταὶ οὐσίαι οὐκ εἰσὶν αἴτιοι τῶν ἡμετέρων αἱρέσεων, ἀλλ' ὁ Θεὸς μόνον.

Οὐδεμία δὲ ψυχὴ οὐράνιος, ἢ χωριστὴ οὐσία νοερὰ καὶ κτιστὴ ἄντικρυς δύναται βούλησιν ἡμῖν ἐντιθέναι, ἢ τὴν αἵρεσιν κινεῖν ἐν ἡμῖν. Ἡ γὰρ πόρρω αἰτία οὔτε κινεῖν οὔτε ποιεῖν τι δύναται, εἰ μὴ μεσιτευούσης τῆς προσεχοῦς αἰτίας· προσεχὲς δὲ κινητικὸν τῆς βουλήσεως τὸ νοητόν ἐστιν ἀγαθόν, ὅπερ ἐστὶν αὐτῆς ἀντικείμενον, ὡς τὸ χρῶμα τῆς ὄψεως, καὶ ὑφ' οὗ κινεῖται. Οὐδεμία τοίνυν κτιστὴ οὐσία τὴν βούλησιν κινῆσαι
f. 101 δύναται, μὴ μεσιτεύοντος τοῦ | νοητοῦ ἀγαθοῦ. Τοῦτο δέ ἐστι καθόσον φανεροῖ ταύτῃ εἶναί τι ἀγαθόν, ὃ δεῖ πράττειν, ὅπερ ἐστὶ πείθειν. Οὐδεμία τοίνυν κτιστὴ οὐσία δύναται δρᾶν εἰς τὴν ἀνθρωπίνην θέλησιν, ἢ εἶναι αἰτία τῆς ἡμετέρας αἱρέσεως, εἰ μὴ τὸν τῆς πειθοῦς τρόπον. Ἀλλ' ὁ Θεὸς μόνος, τοῦ εἶναι τῇ ψυχῇ αἴτιος ὤν, καὶ μόνος συνέχων αὐτὴν ἐν τῷ εἶναι, καὶ μόνος ἔνδοθεν αὐτῇ συνάπτεται, καὶ μόνος τὴν θέλησιν τῆς ψυχῆς οὐ βίᾳ, ἀλλ' ἑκουσίως κινεῖ.

Κἀντεῦθέν ἐστι τὸ ἐν ταῖς Παροιμίαις· „Καρδία βασιλέως ἐν χειρὶ Θεοῦ, καὶ ὅπου θέλει, κλινεῖ αὐτήν"· καὶ ἐν τῇ πρὸς Φιλιππησίους· „Ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν".

## LXXXIX.

Αὐτὸ γὰρ τοῦτο ὅ φησι Σολομών, ὅτι ὅπου θέλει κλινεῖ αὐτήν, δείκνυσι τὸ θεῖον αἰτιῶδες οὐ μόνον πρὸς τὴν δύναμιν τῆς θελήσεως ἐκτεινόμενον,

---

**31** Prov. 21, 1 **32** Philip. 2, 13 **33** Après *θέλειν*, ligne en blanc dans A pour le titre, qui n'a pas été écrit

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀλλὰ καὶ πρὸς τὴν ἐνέργειαν αὐτῆς. Τὸ δ' αὐτὸ καὶ ἐν τῷ Ἡσαΐᾳ λέγεται· „Πάντα τὰ ἡμέτερα ἔργα ἐν ἡμῖν εἰργάσω, Κύριε, ὡς οὐ μόνον τῆς τοῦ θέλειν δυνάμεως, ἀλλὰ καὶ τῆς πράξεως ἐκεῖθεν οὔσης ἡμῖν".

Ἔτι δέδεικται τὸν Θεὸν εἶναι πάσης ἐνεργείας αἰτίαν καὶ ἐνεργεῖν ἐν παντὶ ἐνεργοῦντι. Οὐκοῦν ἐστιν αἴτιος καὶ τῶν κινήσεων τῆς θελήσεως, οἷον οὐ τῆς θελήσεως μόνον, ἀλλὰ καὶ τοῦ θέλειν, ἄλλως τε καὶ ὅτι καθάπερ ἐν τοῖς σωματικοῖς πάσης κινήσεως αἴτιον ἀπὸ τῆς πρώτης ἐστὶ κινήσεως, οὕτω καὶ πᾶσαν θελήσεως κίνησιν δεῖ τὴν πρώτην θέλησιν ἔχειν αἰτίαν, ἥτις ἐστὶν ἡ τοῦ Θεοῦ θέλησις.

## XC. — Ὅτι αἱ ἀνθρώπιναι θελήσεις καὶ αἱρέσεις τῇ θείᾳ προνοίᾳ ὑπόκεινται.

Πάντα γὰρ ὅσα ποιεῖ ὁ Θεός, κατὰ τὴν τάξιν τῆς ἑαυτοῦ προνοίας ποιεῖ. Ἐπεὶ τοίνυν αὐτός ἐστιν αἰτία τῆς ἡμετέρας αἱρέσεως καὶ βουλήσεως, καὶ αἱ ἡμέτεραι αἱρέσεις καὶ βουλήσεις τῇ θείᾳ προνοίᾳ ὑπόκεινται.

Ἔτι, τὰ ἀσώματα, δι' ὧν τὰ σωματικὰ διοικοῦνται, δρῶσιν εἰς τὰ σώματα τῇ βουλήσει. Εἰ οὖν αἱ αἱρέσεις καὶ τῶν βουλήσεων κινήσεις τῶν ἀσωμάτων οὐσιῶν οὐ προσήκουσι τῇ θείᾳ προνοίᾳ, καὶ τῶν σωματικῶν ἐκβληθήσεται ἡ πρόνοια, καὶ οὕτως οὐδενὸς ἔσται πρόνοια. Ἀλλὰ τοὐναντίον, εἰ αἱ σωματικαὶ οὐσίαι κατὰ τὰς ἑαυτῶν οὐσίας καὶ ἐνεργείας ὑπὸ τὴν τάξιν | τῆς θείας προνοίας εἰσίν, πολλῷ μᾶλλον αἱ νοεραὶ οὐσίαι, τι- f. 101v
μιώτεραι οὖσαι ἐν τῷ παντί· ταύτας γὰρ τοιαύτας οὔσας δεῖ μᾶλλον μετέχειν τῆς τάξεως, ἐν ᾗ τὸ τοῦ παντός ἐστιν ἀγαθόν, ἄλλως τε καὶ εἰ ἐγγύτερον τοῦ τέλους εἰσίν, ὅπερ ἐστὶν ὁ Θεός, μᾶλλον ὑποπίπτουσι καὶ τῇ πρὸς τὸ τέλος τάξει, πρὸς ὃ τὰ ἄλλα ἰθύνονται, μεσιτευουσῶν αὐτῶν, ὡς εἰκός.

Ταύτῃ δὲ τῇ ἀποφάσει καὶ ἡ Γραφὴ βοηθεῖ· ἐν γὰρ τῷ Δευτερονομίῳ λέγεται ὡς ἐκ προσώπου τοῦ Θεοῦ· „Βλέπε ὅτι σήμερον προέθηκα ἐνώπιόν σου ζωὴν καὶ ἀγαθόν, καὶ ἀνάπαλιν θάνατον καὶ κακόν"· καὶ ἐν τῷ Ἐκκλησιαστῇ· „Πρὸ τοῦ ἀνθρώπου ζωὴ καὶ θάνατος, ἀγαθὸν καὶ πονηρόν· τὸ ἀρέσκον αὐτῷ δοθήσεται αὐτῷ".

## XCI. — Ὅτι τὰ ἀνθρώπινα εἰς τὰς ὑψηλοτέρας αἰτίας ἀνάγονται.

Αἱ μὲν γὰρ θελήσεις τε καὶ αἱρέσεις ἀμέσως ὑπὸ τοῦ Θεοῦ διατάττονται· ἡ δὲ τῷ νῷ προσήκουσα τοῦ ἀνθρώπου γνῶσις καὶ αὐτὴ ὑπὸ Θεοῦ, τῶν ἀγγέλων μεσιτευόντων, τάττεται. Τὰ δὲ προσήκοντα τοῖς σωματικοῖς, εἴτ' ἔνδοθεν εἴτ' ἔξωθεν εἶεν, εἰς χρῆσιν ἥκοντα τῷ ἀνθρώπῳ, ὑπὸ τοῦ

2 Is. 26, 12 28 Deut. 30, 15 30 Eccli. 15, 17-18

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Θεοῦ διοικεῖται, τῶν ἀγγέλων καὶ τῶν οὐρανίων σωμάτων μεσιτευόντων. Τούτων δὲ μία ἡ αἰτία καθόλου· πᾶν γὰρ πολυειδὲς καὶ μεταβαλλόμενον καὶ πεφυκὸς ἀσθενεῖν ἀνάγκη ὡς εἰς ἀρχὴν ἀνάγεσθαι μονοειδές τι καὶ ἀμετάβλητον καὶ μὴ δυνάμενον ἀσθενεῖν. Διὰ τοῦτο αἱ ἡμέτεραι αἱρέσεις εἰς τὴν θείαν ἀνάγονται θέλησιν, ποικίλαι οὖσαι καὶ μεταβληταὶ διὰ τὴν τῆς διανοίας κουφότητα, ἥτις ἐστὶν ἐν τῷ ἐσχάτῳ τέλει οὐχ ἱδρυμένη βεβαίως, καὶ διὰ τὴν τῶν ἔξωθεν περιεστώτων μεταβολήν, τῆς θείας θελήσεως μονοειδοῦς οὔσης· τῷ γὰρ ἓν θέλειν πάντα τὰ ἄλλα θέλει. Ὡς οὖν μόνου τοῦ θείου τῶν ἡμετέρων θελήσεων καὶ αἱρέσεων ὄντος αἰτίου, καὶ αἱ κινήσεις αὐτῶν εἰς μόνην τὴν θείαν ἀνάγονται θέλησιν. Ἐπεὶ δὲ καὶ ἡ γνῶσις ἡμῶν πολυσχιδής ἐστιν, ἐκ πολλῶν αἰσθητῶν συναγομένη καὶ μεταβλητὴ διὰ τὸ ἀφ' ἑνὸς εἰς ἕτερον μεταβαίνειν, καὶ ἀπὸ τῶν γνωριμωτέρων ἐπὶ τὰ ἄδηλα· καὶ ἀσθενής, διὰ τὴν τῆς φαντασίας καὶ τῆς αἰσθήσεως μίξιν, διὸ καὶ ἀπατηλή, ἡ δὲ τοῦ ἀγγέλου γνῶσις μονοειδὴς καὶ ἀμετάβλητος καὶ βεβαία· ἐκ μιᾶς τε γὰρ πηγῆς, τοῦ Θεοῦ, τὴν γνῶσιν
f. 102 λαμβάνουσιν, καὶ ἁπλῇ νοοῦσιν ἐπιβολῇ, καὶ τὰς οὐσίας τῶν | πραγμάτων γινώσκουσι καθ' αὐτάς, περὶ ἃς οὐχ οἷόν τε ἐξαπατηθῆναι, ὡς οὐδὲ τὴν αἴσθησιν περὶ τὸ ἴδιον αἰσθητόν, διὰ τοῦτο ἡ νοερὰ γνῶσις ἡμῶν τῇ τῶν ἀγγέλων ὁρίζεται γνώσει. Ὁμοίως καὶ τὰ σώματα τά τε ἀνθρώπινα καὶ τὰ ἐξωτερικά, οἷς οἱ ἄνθρωποι χρῶνται, πολὺ τὸ ποικίλον καὶ τὴν ἐναντιότητα καὶ τὴν ἀσθένειαν ἔχοντα, τῇ κινήσει τῶν οὐρανίων σωμάτων ὁρίζονται, μονοειδῶν τε ὄντων καὶ ἁπλῶν, καὶ ἄνευ τινὸς ἐναντιότητος, καὶ συνεχῶς καὶ ὁμοιοτρόπως ἀεὶ κινουμένων, καὶ ἄνευ φθορᾶς τινος ἢ ἀλλοιώσεως.

## XCII. — Πῶς λέγεταί τις εὐτυχής, καὶ πῶς ὑπὸ τῶν ἀνωτέρων αἰτίων βοηθεῖται.

Λέγεται γὰρ ἀνθρώπῳ τινὶ καλῶς τὰ κατὰ τύχην συμβαίνειν, ὅταν παρὰ τὸν σκοπὸν ἀγαθόν τι τούτῳ συμβῇ, ὥσπερ ὅταν τις ἐν ἀγρῷ σκάπτων, εὕρῃ θησαυρὸν ὃν οὐκ ἐζήτει. Συμβαίνει δέ τινα ἐνεργοῦντα παρὰ τὸν ἴδιον μὲν σκοπὸν ἐνεργεῖν, οὐ μέντοι παρὰ τὸν σκοπὸν ἀνωτέρου τινός, ᾧτινι ὑποτέτακται οὗτος, ὥσπερ ἂν εἴ τις δεσπότης προστάξειε δούλῳ τινὶ ἀπελθεῖν ὅπου τὸν σύνδουλον ἐπεπόμφει, ἀγνοοῦντος αὐτοῦ· τούτῳ γὰρ ἡ εὕρεσις τοῦ συνδούλου παρὰ τὸν σκοπόν ἐστιν ἑαυτοῦ, ἀλλ' οὐ παρὰ τὸν σκοπὸν τοῦ πέμψαντος δεσπότου· διὸ καὶ πρὸς μὲν αὐτὸν τυχαῖόν ἐστι, πρὸς δὲ τὸν δεσπότην, οὐχί, ἀλλὰ καὶ τεταγμένον. Ἐπεὶ τοίνυν ὁ ἄνθρωπος τεταγμένος ἐστὶ κατὰ μὲν τὸ σῶμα ὑπὸ τὰ οὐράνια σώματα, κατὰ δὲ τὸν νοῦν ὑπὸ τοὺς ἀγγέλους, κατὰ δὲ τὴν θέλησιν ὑπὸ τὸν Θεόν, δύναταί τι παρὰ τὸν σκοπὸν τοῦ ἀνθρώπου συμβαίνειν, ὅπερ ἢ κατὰ τὴν τάξιν τῶν οὐρανίων σωμάτων ἐστίν, ἢ κατὰ ἔλλαμψιν ἀγγέ-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λων, ἢ τοῦ Θεοῦ. Ὅμως, εἰ καὶ μόνος ὁ Θεὸς ἄντικρυς εἰς τὰς τῶν ἀνθρώπων αἱρέσεις δρᾷ, ἀλλὰ καὶ ἡ τοῦ ἀγγέλου ἐνέργεια, συνεργεῖ τι πρὸς τὴν αἵρεσιν τοῦ ἀνθρώπου τὸν τῆς πειθοῦς τρόπον· ἡ δὲ τοῦ οὐρανίου σώματος ὡς διατιθέντος, ὡς πρότερον εἴρηται. Ὅταν τοίνυν τις ἐκ τῆς δράσεως τῶν οὐρανίων σωμάτων πρός τινας αἱρέσεις χρησίμους ἑαυτῷ ἀποκλίνῃ, ὧν τὴν ὠφέλειαν οὐ γινώσκει τῷ ἑαυτοῦ λόγῳ, φωτίζεται δὲ ὁ τούτου νοῦς καὶ τῷ φωτὶ τῶν νοερῶν οὐσιῶν πρὸς τὸ πράττειν ἐκεῖνα, καὶ ἡ βούλησις δὲ αὐτοῦ ὑπὸ τῆς θείας ἐνεργείας ὁδηγῆται πρὸς τὸ | ἑλέσθαι f. 102v τι χρήσιμον ἑαυτῷ, οὗ τὸν λόγον ἀγνοεῖ, λέγεται εἶναι εὐτυχής· καὶ τοὐναντίον δυστυχής, ὅταν ὑπὸ τῶν ἀνωτέρω αἰτίων ἐπὶ τἀναντία ἡ τούτου αἵρεσις ἄγηται, ὡς ἐν τῷ Ἱερεμίᾳ περί τινος λέγεται· „Γράψον τὸν ἄνδρα ἐκεῖνον ἄτεκνον, ὃς οὐ κατευοδωθήσεται ἐν ταῖς ἡμέραις αὐτοῦ". Λέγεται δέ τις καλῶς γεννηθεὶς ἢ κακῶς ἐκ τῆς ἀπορρυείσης διαθέσεως ἀπὸ τοῦ οὐρανίου σώματος εἰς τὸ ἡμέτερον σῶμα, καὶ ἑπομένως καὶ οὗτος εὐτυχὴς λέγεται. Καθὸ δὲ ὁ τοῦ ἀνθρώπου νοῦς ἐλλάμπεται πρὸς τὸ πράττειν τι, ἢ ἡ βούλησις ὑπὸ τοῦ Θεοῦ διεγείρεται, οὐ λέγεται καλῶς γεγεννημένος, ἀλλὰ μᾶλλον πεφυλαγμένος, ἢ κεκυβερνημένος. Ἔστι καὶ ἄλλη διαφορά· ἡ μὲν γὰρ τοῦ ἀγγέλου ἢ τοῦ οὐρανίου σώματος ἐνέργεια πρὸς τὴν αἵρεσιν ὥσπερ διατίθησι μόνον· ἡ δὲ τοῦ Θεοῦ ὥσπερ τελειοῦσα ἐστίν. Ἐπεὶ δὲ ἡ ἐκ τῆς τοῦ σώματος ποιότητος διάθεσις ἢ τῆς τοῦ νοῦ πειθοῦς οὐδαμῶς ἀνάγκην ἐπάγει πρὸς τὸ αἱρεῖσθαι, οὐκ ἀεὶ αἱρεῖται ὁ ἄνθρωπος ὅπερ ὁ φυλάσσων αὐτὸν ἄγγελος βούλεται, ἢ ἐφ' ὅπερ ἄγει τὸ οὐράνιον σῶμα· ἀεὶ μέντοι αἱρεῖται ὅπερ ὁ Θεὸς εἰς τὴν αὐτοῦ βούλησιν ἐνεργεῖ. Ὅθεν πολλάκις ἡ τῶν ἀγγέλων φυλακὴ παύεται, κατὰ τὸ ἐν τῷ Ἱερεμίᾳ· „Ἐφυλάξαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἐφυλάχθη"· πολλῷ δὲ μᾶλλον καὶ ἐφ' ὅπερ κλίνειν ποιεῖ τὸ οὐράνιον σῶμα. Ἡ δὲ θεία πρόνοια ἀεὶ βεβαία ἐστίν.

Ἔτι, ἡ μὲν πρὸς τὴν αἵρεσιν ἐκ τῶν οὐρανίων σωμάτων διάθεσις κατά τινος πάθους τρόπον ἐστίν, ὥσπερ εἴ τις ἐνάγοιτο πρὸς τὸ αἱρεῖσθαί τι μίσει, ἢ φιλίᾳ, ἢ ὀργῇ, ἢ τοιούτῳ τινί· ἡ δὲ ὑπὸ τοῦ ἀγγέλου διάθεσις πρὸς τὸ αἱρεῖσθαι ἄνευ πάθους ἐστί, καὶ κατὰ τὸν τῆς νοερᾶς θεωρίας τρόπον, καὶ ποτὲ μὲν ἐλλάμπεται μόνον ὁ ἄνθρωπος ὑπὸ ἀγγέλου πρὸς τὸ ποιητέον, οὐ μέντοι διδάσκεται καὶ τὴν αἰτίαν δι' ἣν ἐστιν ἀγαθόν, ἀλλ' ἐκ τοῦ τέλους μόνον τοῦτο λαμβάνεται· διὸ πολλάκις νομίζει μέν τι ἀγαθὸν προσῆκον γενέσθαι, τὸ δέ, διότι ζητούμενος λέγει μὴ εἰδέναι· ὅθεν ἀφικομένῳ ἐπὶ τὸ ἔσχατον τέλος ὅπερ οὐ προεώρα, ἔσται τούτῳ τυχαῖον· ποτὲ δὲ τῇ ἀγγέλου ἐλλάμψει διδάσκεται καὶ τὸν λόγον, δι' ὃν ἐστι τοδὶ

---

11 Ier. 22, 30



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f. 103 ἀγαθόν, ὃς ἤρτηται τοῦ τέλους, καὶ οὕτως ἐπὶ τὸ | τέλος ἀφιγμένῳ ὃ προεώρα, οὐκ ἔσται αὐτῷ τοῦτο τυχαῖον.

Ἔτι, δύναται μέν τι συμβαίνειν ἀγαθὸν τῷ ἀνθρώπῳ παρὰ τὸν αὐτοῦ σκοπὸν καὶ τὴν ἔλλαμψιν τῶν ἀγγέλων. Ἡ γὰρ τῆς ἀνθρωπίνης ψυχῆς ἢ ἡ ἀγγελικὴ δύναμις μερική τίς ἐστι πρὸς τὴν θείαν δύναμιν, πρὸς τὰ ὄντα πάντα ἐκτεινομένην· ὁμοίως καὶ παρὰ τὰ οὐράνια σώματα, ὅτι ἡ διάθεσις αὐτῶν οὐκ ἐπὶ πάντα ἐκτείνει ἑαυτήν, ἐφ' ὅσα ἡ αἵρεσις τῆς ἀνθρωπίνης ψυχῆς, ἀσωμάτου οὔσης. Παρὰ τὴν θείαν μέντοι γε πρόνοιαν οὐδὲν συμβῆναι ἀγαθὸν δύναται τῷ ἀνθρώπῳ, ἥτις ὥσπερ ποιητική, οὕτω καὶ προνοητικὴ καὶ διοικητική ἐστι τοῦ ὄντος καθὸ ὄν· διὸ πάντα ὑφ' ἑαυτὴν περιέχει. Οὕτω τοίνυν ἀγαθόν τι ἢ κακὸν συμβῆναι δύναται τῷ ἀνθρώπῳ κατὰ τύχην, καὶ τῇ πρὸς τοὺς ἀγγέλους παραθέσει, οὐ μὴν τῇ πρὸς τὸν Θεόν. Ἐν δὲ τοῖς ἠθικοῖς οὐ δύναταί τις εὐτυχὴς λέγεσθαι ἢ δυστυχής· οὐ γάρ εἰσι παρὰ τὸν σκοπὸν ὅλως ἐν τῇ αἱρέσει ὄντα, ἀλλὰ μόνον καλῶς ἢ κακῶς γεγεννημένος διὰ τὴν ἐκ τῆς τοῦ σώματος διαθέσεως ἐπιτηδειότητα πρὸς τὴν τοιάνδε αἵρεσιν. Τῇ δὲ πρὸς τὰ ἔξωθεν ἀγαθὰ παραθέσει, ἃ δύνανται παρὰ τὸν σκοπὸν ἀποβαίνειν, δύναταί τις λέγεσθαι καὶ καλῶς γεγεννημένος καὶ εὐτυχής, καὶ ὑπὸ τοῦ Θεοῦ κυβερνώμενος, καὶ ὑπὸ ἀγγέλου φυλαττόμενος.

Ἔτι, καὶ πρὸς τὸ αἱρεῖσθαι καὶ πρὸς τὸ παρακολουθεῖν τοῖς αἱρετοῖς βοηθεῖται παρὰ τῶν ἀνωτέρω αἰτίων, ὡσαύτως δὲ καὶ κωλύεται, κατὰ μὲν τὴν αἵρεσιν διατιθέμενος πρός τι αἱρετὸν ὑπὸ τῶν οὐρανίων σωμάτων ἢ ἀγγελικῇ ἐλλάμψει, ἢ θείᾳ ἐνεργείᾳ· πρὸς δὲ τὴν παρακολούθησιν, ἰσχὺν καὶ δραστηριότητα ἔχων ἐκ τοῦ οὐρανίου σώματος καὶ εἰληφώς, ἢ παρὰ ἀγγέλου λαμβάνων, ἢ παρὰ τοῦ Θεοῦ· οὐδὲν γὰρ κωλύει, ὥσπερ λίθοι τινὲς καὶ βοτάναι ἔχουσιν, οὕτω καὶ ἄνθρωπόν τινα ἔχειν ἐκ τῶν οὐρανίων δραστηριότητά τινα περὶ σώματος, ἣν ἄλλος οὐκ ἔχει, οἷον ἰατρὸν περὶ τὸ ὑγιάζειν, ἢ γεωργὸν περὶ τὸ φυτεύειν, ἢ στρατιώτης περὶ τὸ πολεμεῖν. Ἀλλὰ τὴν δραστηριότητα ταύτην πολλῷ τελειότερον ὁ Θεὸς τοῖς ἀνθρώποις παρέχει, ὥστε δραστηρίως τὰ δέοντα γίνεσθαι ἐν τοῖς
f. 103ᵛ αὐτοῦ κτίσμασι ποιεῖν. Κατὰ μὲν οὖν τὴν πρώτην | βοήθειαν, τὴν ἐν τῷ αἱρεῖσθαι, ἰθύνειν λέγεται· κατὰ δὲ τὴν δευτέραν, ἐνισχύειν· διὸ καὶ ὁ προφήτης, τῆς μὲν προτέρας βοηθείας ἁπτόμενος, φησί· „Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι"; τῆς δὲ δευτέρας λέγει· „Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου ἀπὸ τίνος δειλιάσω"; τούτων ἡ μὲν προτέρα βοήθεια καθολικωτέρα ἐστίν· βοηθεῖται γὰρ ὁ ἄνθρωπος καὶ ἐν τοῖς ὑποκειμένοις τῇ αὐτοῦ δυνάμει καὶ τοῖς ἄλλοις· ἡ δὲ δευτέρα ἐν ἐκείνοις μόνον ἐστὶν πρὸς ἃ ἡ ἀνθρωπίνη δύναμις οὐκ ἐξικνεῖται. Συμβαίνει δὲ

---

33 Ps. 26, 1

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῷ ἀνθρώπῳ καλῶς ἢ κακῶς τὰ κατὰ τύχην, ποτὲ μὲν αὐτοῦ μόνου ποιοῦντος, ὡς ὅταν ὀρυσσῶν ἐντύχοι θησαυρῷ, ποτὲ δὲ καὶ ἄλλου ἐνεργείας συντρεχούσης, ὡς ὁ ἐπὶ τῷ ἀγοράσαι ἐλθὼν καὶ τὸν δανειστὴν ἀπροσδοκήτως εὑρών. Πρὸς μὲν οὖν τὸ ἑλέσθαι τὸ πρότερον ἤγουν τὸ ὀρύξαι, ᾧ συνέζευκται τὸ εὐτυχεῖν θησαυρῷ, ἄγεται αὐτὸς μόνος, καὶ οὕτω βοηθεῖται· πρὸς δὲ τὸ δεύτερον, ἑκάτερος τῶν ποιούντων ἄγεται πρὸς τὸ ἑλέσθαι ἐνέργειάν τινα ἢ κίνησιν, ὅθεν ἂν ἀλλήλοις συνδράμοιεν. Πάντα τοίνυν τὰ κατὰ τύχην οὕτως ἀποβαίνοντα εἰς μὲν τὴν θείαν αἰτίαν ἀναγόμενα τὸν τῆς τύχης ἀποβάλλουσι λόγον, εἰς δὲ τὸ οὐράνιον σῶμα, οὐδέποτε.

Ἔτι φανερὸν καὶ τοῦτο, ὅτι ὁ ἄνθρωπος ἐκ τῆς τοῦ οὐρανίου σώματος δυνάμεως καθόλου εὐτυχὴς οὐ δύναται εἶναι, ἀλλὰ μόνον κατὰ τόδε, ἢ τόδε· ἡ μὲν γὰρ φύσις πρὸς ἓν μόνον τέτακται, τὰ δὲ κατὰ τύχην καλῶς ἢ κακῶς συμβαίνοντα τῷ ἀνθρώπῳ οὐ πεφύκασιν εἰς ἕν τι ἀνάγεσθαι, ἀλλ' ἀόριστά εἰσι καὶ ἄπειρα. Οὐκ ἄρα δυνατὸν ἐν τῇ ἑαυτοῦ φύσει ἔχειν τινά, ἔκ τινος ἀπορροίας τοῦ οὐρανίου σώματος, ὥστ' ἀεὶ ἢ ὡς ἐπὶ τὸ πλεῖστον ἐκεῖνα αἱρεῖσθαι, οἷς κατὰ συμβεβηκὸς ὠφέλιμά τινα ἕπεται· δυνατὸν δὲ ὑπὸ τοῦ οὐρανίου σώματος ἄγεσθαι εἰς τὸ ἑλέσθαι τι, ᾧ κατὰ συμβεβηκὸς ὠφέλιμόν τι συνῆπται, καὶ πάλιν εἰς ἄλλο, καὶ ἔτι εἰς τρίτον· οὐ μέντοι δυνατὸν ἀεὶ οὕτως ὡς μιᾶς ἐνδεδομένης εἰς πάντα κινήσεως· ἐκ μιᾶς δὲ θείας διαθέσεως δυνατὸν ἄνθρωπον εἰς πάντα ἰθύνεσθαι.

## XCIII. — Περὶ εἱμαρμένης, εἴ ἐστι, καὶ τί ἐστι.

Οἱ μὲν τὰς ἀνωτέρω αἰτίας ἀπηνηνάμενοι διὰ τὰ κατὰ συμβεβηκὸς ἐκ τῶν | μερικῶν αἰτίων γινόμενα, οὐδὲν εἶπον εἶναι τὴν εἱμαρμένην· τινὲς f. 104 δὲ πάντα τὰ ἐνταῦθα ἐξ αὐτομάτου συμβαίνοντα εἰς τὰ οὐράνια ἀνῆγον σώματα καὶ τὰς ἀνθρωπίνας αἱρέσεις, τὴν δύναμιν τῆς τῶν ἀστέρων θέσεως, ἢ πάντα μετά τινος ἀνάγκης ὑποκεῖσθαι ἐτίθεσαν, εἱμαρμένην καλοῦντες, ἥτις δόξα ἀδύνατος καὶ τῆς πίστεως ἀλλοτρία. Τινὲς δὲ εἰς τὴν τῆς θείας προνοίας διοίκησιν πάντα ἀνάγειν ἠθέλησαν, καὶ τὰ ἀπὸ τύχης συμβαίνειν δοκοῦντα· ὅθεν ὑπὸ τῆς εἱμαρμένης εἶπον ἄγεσθαι πάντα, τὴν ἐν τοῖς πράγμασιν ἐκ τῆς θείας προνοίας τάξιν οὕτω καλοῦντες. Ὅθεν ὁ Βοήτιος φησίν· „Εἱμαρμένη ἐστὶν ἡ τοῖς κινουμένοις πράγμασι συντεταγμένη διάθεσις, δι' ἧς ἡ πρόνοια πάντα ταῖς ἑαυτῆς τάξεσι στρέφει. Αὐτὴ γὰρ ἡ τάξις, καθόσον μέν ἐστιν ἐν τῷ θείῳ νῷ, οὔπω τοῖς πράγμασιν ἐντεθεῖσα, πρόνοιά ἐστί· καθόσον δὲ τοῖς πράγμασι προσάγεται, εἱμαρμένη καλεῖται· κινουμένοις δέ φησιν, ἵνα δείξῃ ὡς ἡ τῆς προνοίας τάξις οὐκ ἀναιρεῖ τῶν πραγμάτων τὸ συμβεβηκὸς καὶ τὸ δύνασθαι κινεῖσθαι.

Οὕτω τοίνυν τὴν εἱμαρμένην ἀναιρεῖν, τὴν θείαν πρόνοιαν ἐστὶν ἀναιρεῖν. Ἀλλ' ἐπεὶ οὐδ' ὀνόματα κοινὰ τοῖς ἀπίστοις ἔχειν ὀφείλομεν, ἵνα μὴ ἐκ τῆς κοινωνίας τῶν ὀνομάτων ἀφορμὴ γένηται πλάνης, τοὺς πιστοὺς οὐ



Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

δεῖ τῷ τῆς εἱμαρμένης ὀνόματι χρῆσθαι, ἵνα μὴ δοκῶμεν ἐκείνοις συντίθεσθαι, οἳ κακῶς περὶ τῆς εἱμαρμένης ὑπέλαβον, πάντα ταῖς ἀνάγκαις τῶν ἀστέρων ὑποτιθέντες. Ὅθεν καὶ Αὐγουστῖνος φησίν· „Εἴ τις τὴν τοῦ Θεοῦ δύναμιν ἢ τὴν ἐξουσίαν τῷ τῆς εἱμαρμένης ὀνόματι καλοίη, τῆς δόξης ἐχέσθω, τὴν δὲ γλῶσσαν σωφρονιζέτω“· καὶ Γρηγόριος κατὰ τὴν αὐτὴν δόξαν φησίν· „Ἀπείη τῆς τῶν πιστῶν διανοίας εἱμαρμένην εἶναί τι λέγειν“.

## XCIV. — Περὶ τοῦ βεβαίου τῆς θείας προνοίας.

Τρία ὑποτίθεσθαι δεῖ οἰκείως τῇ πίστει· ὅτι οὐδὲν τὴν θείαν πρόνοιαν διαφεύγει, καὶ ὅτι ἀμετάβλητος ἡ τῆς θείας προνοίας τάξις, καὶ ὡς οὐκ ἀνάγκη διὰ τοῦτο τὰ ἐξ αὐτῆς προϊόντα ἐξ ἀνάγκης πάντα προϊέναι. Ὥστε οὖν ταῦτα φανερωθῆναι, πρῶτον θεωρητέον ἂν εἴη ἃ καὶ πρότερον f. 104v | εἴρηται, ὅτι τοῦ Θεοῦ πάντων ὄντος αἰτίου τῶν ὄντων, ἡ τῆς αὐτοῦ προνοίας τάξις ἅπασι περιπλέκεται· οἷς γὰρ τὸ εἶναι δεδώρηται, τούτοις καὶ τὸ συντηρεῖσθαι χαρίζεται εἰκότως, καὶ τὴν ἐν τῷ ἐσχάτῳ τέλει τελειότητα. Ἐπεὶ δὲ ἅπαν προνοοῦν προμελετᾷ μὲν τὴν τάξιν, καθιστᾷ δὲ αὐτὴν ἔπειτα ἐν τοῖς τῇ προνοίᾳ ὑποκειμένοις, ὧν τὸ μὲν τῇ γνωστικῇ προσήκει δυνάμει τὸ πρότερον, τὸ δέ, τῇ πρακτικῇ, τοῦτο διαφέρουσιν ἀλλήλων ταυτί, ὅτι ἐν μὲν τῷ τὴν τάξιν προμελετᾶν τοσούτῳ τελειοτέρα ἡ πρόνοια ὅσῳ μᾶλλον καὶ μέχρι τῶν ἐσχάτων ἡ τάξις αὐτῆς προάγεσθαι δύναται· τὸ γὰρ ἡμᾶς μὴ δύνασθαι προμελετᾶν τὴν τῶν μερικῶν πάντων τάξιν περὶ τὰ ὑφ' ἡμῶν ὀφείλοντα διοικεῖσθαι ἐκ τῆς ἀσθενείας τῆς ἡμετέρας πρόεισι γνώσεως, ἥτις τοῖς μερικοῖς πᾶσιν οὐ δύναται περιπλέκεσθαι· τοσούτῳ δὲ ἕκαστος ἐν τῷ προνοεῖσθαι σοφώτερος, ὅσῳ δύναται πλείω προμελετᾶν μερικά· οὗ δὲ ἡ πρόνοια ἐν μόνοις τοῖς καθόλου συνίσταται, ὀλίγον μετέχει φρονήσεως· τὸ δ' ὅμοιον καὶ ἐν ταῖς πρακτικαῖς τέχναις ἁπάσαις ἐστίν. Ἐν δὲ τῷ τὴν προμελετηθεῖσαν τάξιν ἐπιτιθέναι τοῖς πράγμασιν τοσούτῳ βελτίων καὶ τελειοτέρα ἐστὶν ἡ τοῦ ποιοῦντος πρόνοια ὅσῳ καθολικωτέρα ἐστί, καὶ πλείους λειτουργίαι τὴν αὐτοῦ προβούλευσιν τοῖς πράγμασιν ἐφαρμόζουσιν, ἐπεὶ καὶ αὐτό, ἡ τῶν λειτουγημάτων διάθεσις, μέγα μέρος τῆς προνενοημένης τάξεως ἔχει. Ἀνάγκη δὲ τὴν θείαν πρόνοιαν ἐσχάτως εἶναι τελείαν· ἁπλῶς γὰρ καὶ καθόλου τέλειος δέδεικται ὁ Θεὸς ἐν τῷ πρώτῳ. Ἐν τῷ προνοεῖσθαι τοίνυν τῷ τῆς αὐτοῦ σοφίας προβουλεύματι, τάττει τὰ αἰώνια πάντα, καθόσον ἂν ἐλάχιστα δοκῇ. Τὰ δέ τι τῶν πραγμάτων ποιοῦντα ὀργανικῶς ποιεῖ ὑπ' ἐκείνου κινούμενα, καὶ ἑαυτὰ παραμιγνύντα διακονοῦσι πρὸς τὴν ἐξ ἀϊδίου τάξιν τῆς θείας προνοίας, τὸ νοηθέν, ἵν' οὕτως εἴποιμι, ἐν τοῖς πράγμασιν ἐξαπλοῦντα. Εἰ δὲ πάντα τὰ ποιεῖν δυνάμενα ἐν τῷ ποιεῖν ἐκείνῳ διακονεῖν ἀνάγκη, ἀδύνατον τῶν ποιούντων τι κωλύειν τὴν ἀποπλήρωσιν τῆς θείας προνοίας,

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐναντίον τι ταύτῃ ποιοῦν· ἀλλ' οὐδὲ τὴν θείαν πρόνοιαν δυνατὸν κωλυθῆναι, τινὸς ποιοῦντος ἢ πάσχοντος ἀσθενείᾳ, | ἢ τῇ τοῦ προνοοῦντος f. 105 μεταβολῇ· πᾶσά τε γὰρ δύναμις ποιητικὴ καὶ παθητικὴ κατὰ τὴν θείαν πρόνοιαν ἐν τοῖς πράγμασιν ἐξ αἰτίας ἐστί, καὶ ὁ Θεὸς πάντῃ δέδεικται ἀμετάβλητος. Λείπεται τοίνυν τὴν θείαν πρόνοιαν ἀδύνατον εἶναι ἀκυρωθῆναι.

Πάλιν θεωρητέον ἂν εἴη, ὅτι πᾶν ποιοῦν ἐπὶ τὸ ἀγαθὸν τείνει, καὶ τὸ βέλτιον, ὡς οἷόν τε· ταῦτα δὲ ἐν τῷ παντὶ καὶ τοῖς μέρεσιν οὐ τὸν αὐτὸν θεωροῦνται τρόπον. Ἐν μὲν γὰρ τῷ παντὶ ἀγαθὸν ἡ ἀκεραιότης, ἡ ἐκ τῆς τῶν μερῶν τάξεως καὶ συνθέσεως προϊοῦσα· ὅθεν βέλτιον αὐτῷ ἡ ἐν τοῖς μέρεσι διαφορά, ἧς ἄνευ ἡ τάξις καὶ ἡ τοῦ παντὸς τελειότης οὐ δύναται εἶναι. Εἰ γὰρ καὶ τῷ ποδὶ βέλτιον ἂν ἦν ὀφθαλμῷ μᾶλλον εἶναι, ὁμοίως δὲ καὶ τοῖς ἄλλοις ἀτιμοτέροις μέρεσιν, ἀλλὰ τὸ ὅλον σῶμα ἀτελέστατον ἦν, τῆς τοῦ ποδὸς λειτουργίας ἐστερημένον. Πρὸς ἕτερον τοίνυν τοῦ μερικῶς ποιοῦντος ὁ σκοπὸς τείνει, καὶ πρὸς ἕτερον ὁ τοῦ καθόλου. Τὸ μὲν γὰρ ἀπολελυμένως πρὸς τὸ τοῦ μέρους ἀγαθὸν τείνει καὶ ποιεῖ τοῦτο καθόσον δύναται βέλτιον· τὸ δὲ καθόλου ποιοῦν εἰς τὸ τοῦ ὅλου ἀγαθὸν τείνει· ὅθεν δύναταί τις εἶναι στέρησις παρὰ τὸν τοῦ μερικῶς ποιοῦντος σκοπόν, κατὰ δὲ τὸν σκοπὸν τοῦ καθόλου ποιοῦντος· ὥσπερ ἡ τῆς γυναικὸς γέννησις παρὰ τὸν σκοπὸν τῆς μερικῆς ἐστι φύσεως, ἤτοι τῆς ἐν τῷ σπέρματι τῷδε δυνάμεως, σκοπούσης τελειῶσαι τὸν τόκον ὡς δύναται βέλτιον, κατὰ δὲ τὸν σκοπὸν τοῦ καθόλου ποιοῦντος, ὃν ἄνευ γυναικὸς ἀδύνατον πληρωθῆναι ἐν τῇ τῶν ἄλλων ζῴων γεννήσει· τὸ δ' αὐτὸ καὶ ἐπὶ πάσης φθορᾶς καὶ μειώσεως καὶ ἐνδείας. Εἰσὶ γὰρ κατὰ τὸν σκοπὸν τῆς καθόλου φύσεως, οὐ μέντοι τῆς μερικῆς· ἕκαστον γὰρ φεύγει τὴν στέρησιν. Ὅθεν ὁ μὲν σκοπὸς τοῦ μερικῶς ποιοῦντος, τέλειον γενέσθαι τὸ ἔργον ἐν τῷ αὐτῷ γένει, ὡς δυνατόν· τοῦ δὲ καθόλου ποιοῦντος, γενέσθαι τέλειον κατὰ συμβεβηκὸς τοιαύτῃ τελειότητι, οἷον ἔνθα μὲν ἄρρενος τελειότητι, ἔνθα δὲ γυναικός. Τῶν δὲ μερῶν τοῦ ὅλου πρώτη διάκρισις, ἡ κατὰ τὸ ἀναγκαῖον καὶ ἐνδεχόμενον. Τῶν μὲν γὰρ ὄντων τὰ ὑψηλότερα ἀναγκαῖα καὶ ἄφθαρτα καὶ ἀκίνητα, ἧς δὴ ἕξεως τοσούτῳ μᾶλλον ἀποδεῖ τὰ ἄλλα, ὅσῳ μᾶλλον ἐν τῇ κατωτέρω καθίστανται τάξει, | οὕτως, ὥστε τὰ ἔσχατα φθείρεσθαι μὲν κατὰ τὸ εἶναι αὐτῶν, κινεῖσθαι f. 105v δὲ κατὰ τὰς ἰδίας διαθέσεις, τά τε ἀποτελέσματα αὐτῶν οὐκ ἐξ ἀνάγκης ἀλλ' ἐνδεχομένως προάγειν. Ἕκαστον τοίνυν τῶν ποιούντων, μέρος ὂν τοῦ παντός, σκοπεῖ μὲν καθόσον δύναται ἐν τῷ ἑαυτοῦ εἶναι καὶ τῇ φυσικῇ διαθέσει διαμένειν, καὶ τὸ ἑαυτοῦ ἀποτέλεσμα ἵστασθαι ποιεῖν. Ὁ δὲ Θεός, τοῦ παντὸς ὢν κυβερνήτης, βούλεται τὸ αὐτοῦ ἀποτέλεσμα ἐνταῦθα μὲν ἠρεμεῖν κατὰ τὸν τῆς ἀνάγκης τρόπον, ἐνταῦθα δὲ ἐνδεχομένως· καὶ πρὸς τοῦτο διαφόρους αἰτίας αὐτοῖς ἐφαρμόζει, τούτοις μὲν ἀναγκαίας,

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐκείνοις δὲ ἐνδεχομένας. Ὑπὸ τὴν τῆς προνοίας ἄρα τάξιν πίπτει καὶ τοῦτο τὸ οὐ μόνον ἀποτέλεσμά τι εἶναι, ἀλλὰ καὶ τοῦτο μὲν ἀναγκαῖον, ἐκεῖνο δὲ ἐνδεχόμενον εἶναι. Καὶ κατὰ τοῦτο τινὰ μὲν τῶν τῇ θείᾳ ὑποκειμένων προνοίᾳ ἀναγκαῖά εἰσι, τινὰ δὲ ἐνδεχόμενα, οὐ μέντοι πάντα ἀναγκαῖα. Φανερὸν τοίνυν, ὡς ἡ θεία πρόνοια αἰτία ἐστὶ καθ' αὑτὴν τουδὶ τοῦ μέλλοντος ἀποτελέσματος· ἔστι δὲ καὶ τοῦ παρόντος καὶ τοῦ παρελθόντος, μᾶλλον δὲ ἐξ ἀϊδίου, οὔτε δὲ ἀνάγκῃ γίνεται τὸ ἀποτέλεσμα διὰ τοῦτο· ἔστι γὰρ ἡ θεία πρόνοια αἰτία καθ' αὑτὴν τοῦ τὸ μὲν ἐνδεχομένως προελθεῖν, τὸ δὲ ἀκυρωθῆναι μὴ δύνασθαι· οὔτε ἀληθές ἐστι τὸ συνημμένον τοῦτο· εἰ ὁ Θεὸς τουτὶ τὸ μέλλον προῄδει, τοῦτ' ἔσται· ἀλλ' ὅτι οὕτως ἔσται ὡς ὁ Θεὸς προῄδει τοῦτ' εἶναι μέλλον· προῄδει δὲ τοῦτ' εἶναι μέλλον ἐνδεχομένως. Ἕπεται τοίνυν ἀψευδῶς, ὡς ἔσται, ἐνδεχομένως δὲ καὶ οὐκ ἐξ ἀνάγκης. Οὔτε, εἰ πάντα ὑπὸ τῆς θείας ἄγονται προνοίας, οὐδέν ἐστιν ἐφ' ἡμῖν· οὕτω γάρ εἰσιν ὑπὸ τοῦ Θεοῦ προεγνωσμένα, ὥσθ' ὑφ' ἡμῶν ἐλευθέρως γίνεσθαι, ἅτε τῇ θείᾳ προνοίᾳ οὐ μόνον τῶν ἀποτελεσμάτων, ἀλλὰ καὶ τῶν αἰτίων καὶ τῶν τρόπων τοῦ εἶναι ὑποκειμένων. Ἀλλὰ καὶ προσήκει τῇ θείᾳ προνοίᾳ τὸ ταῖς δυναμέναις ἀσθενεῖν αἰτίαις ἐνίοτε συγχωρεῖν ἀσθενεῖν, ποτὲ δὲ ταύτας τῶν ἀποτελεσμάτων ἕνεκα συντηρεῖν. Ὅθεν ἐκ τῆς ἀσθενείας τῶν δευτέρων αἰτίων οὐκ ἀναιρεῖται τὸ βέβαιον τῆς προνοίας, καὶ ὅσα ἄλλα δοκεῖ προσίστασθαι τῷ βεβαίῳ τῆς θείας προνοίας ἐν τῷ περὶ τῆς θείας σοφίας κεφαλαίῳ λέλυται ἱκανῶς.

f. 106 ## XCV. — Ὅτι τὸ ἀκίνητον τῆς θείας προνοίας οὐκ ἀναιρεῖ τὸ χρήσιμον τῆς εὐχῆς.

Ὡς γὰρ ἀνάγκην τοῖς προνοουμένοις οὐκ ἐπιτίθησιν, οὕτως οὐδὲ τὸ τῆς εὐχῆς χρήσιμον ἀναιρεῖ. Οὐ γὰρ τὴν εὐχὴν τούτου χάριν ἐκχέομεν πρὸς τὸν Θεὸν ὥστε τὸ τῆς προνοίας αἰώνιον μεταβάλλεσθαι· ἀδύνατον γάρ· ἀλλ' ἵνα τις παρὰ τοῦ Θεοῦ, οὗ ἐφίεται τύχῃ· ταῖς γὰρ εὐσεβέσι τῆς λογικῆς κτίσεως ἐπιθυμίαις ἁρμόζον ἐστὶ συγκατατίθεσθαι τὸν Θεόν, οὐχ ὡς τῶν ἡμετέρων ἐπιθυμιῶν τὸν ἀκίνητον κινουσῶν Θεόν, ἀλλ' ὡς ἐκ τῆς ἐκείνου προϊόντος ἀγαθότητος τοῦ τελειοῦν οἰκείως τὰ ἐπιθυμητά. Ἐπεὶ γὰρ τοῦ ἀγαθοῦ φύσει πάντα ἐφίεται, τῇ δ' ὑπεροχῇ τῆς θείας ἀγαθότητος προσήκει τὸ εἶναι καὶ εὖ εἶναι πᾶσι τάξει τινὶ διανέμειν, ἑπόμενόν ἐστι τῇ αὐτοῦ ἀγαθότητι καὶ τὸ τὰς δι' εὐχῆς ἐξαπλουμένας ἐπιθυμίας εὐσεβεῖς οὔσας ἀναπληροῦν. Εἰ γὰρ τὸ τῆς κτίσεως ἀγαθὸν ἐκ τῆς θείας παράγεται ἀγαθότητος καθ' ὁμοιότητα, τὸ δὲ συγκατατίθεσθαι τοῖς αἰτοῦσι τὰ πρέποντα καὶ μὴ ἀπαναίνεσθαι, ἐλευθεριότης καὶ

---

31 *κινουσῶν*: *κινούντων* **A**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἠπιότης καὶ οἶκτος καὶ ἐλεημοσύνη καὶ εὐσπλαγχνία μάλιστα ἐν ἀνθρώποις ἐπαινεῖται, πολλῷ μᾶλλον τῇ θείᾳ πρέπον ἂν εἴη ἀγαθότητι τῶν εὐσεβῶν εὐχῶν ἐπακούειν.

Ἐντεῦθέν ἐστι τὸ ἐν Ψαλμοῖς· „Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ εἰσακούσεται", καὶ τὰ ἑξῆς· καὶ ἐν τῷ κατὰ Ματθαῖον ὁ Κύριος· „Πᾶς ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει".

## XCVI.

Εἰ δὲ πολλάκις αἰτοῦντες οὐκ εἰσακούονται, τοῦτ' ἔστι διὰ τὸ μὴ εἶναι τὸ αἰτούμενον ἀληθῶς ἀγαθόν, ἀλλὰ δοκοῦν ἀγαθόν, ἁπλῶς δὲ κακόν, ὡς ἐν τῇ Ἰακώβου ἐπιστολῇ· „Αἰτεῖτε καὶ οὐ λαμβάνετε, ὅτι κακῶς αἰτεῖσθε"· ἢ τοῦτ' ἔστι διὰ τὸ μὴ καρτερεῖν καὶ προσεδρεύειν ἐν τῇ εὐχῇ, πρὸς ὃ εἴρηται ἐν τῷ κατὰ Λουκᾶν· „Δεῖ πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκαμεῖν"· καὶ ἐν τῇ πρὸς Θεσσαλονικεῖς πρώτῃ· „Ἀδιαλείπτως προσεύχεσθε".

Ἔτι δεῖ πρὸς τοῦτο θεωρίας καὶ τῆς μετ' εὐνοίας ἐφέσεως, καὶ μετρίου καὶ βεβαίου σκοποῦ. Ὅθεν ἐν τοῖς Ψαλμοῖς λέγεται· „Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν". Ἡ οὖν μὴ οὕτω πλησιάζουσα τῷ Θεῷ εὐχὴ οὐ προσήκουσά ἐστιν ὑπακούεσθαι ὑπὸ τοῦ Θεοῦ.

Ἔτι, τῷ τῆς φιλίας λόγῳ ὁ Θεὸς εἰσακούει τὰς εὐχὰς τῶν ὁσίων· οἱ δὲ τὴν τοῦ Θεοῦ φιλίαν ἐκκλίνοντες οὐ δίκαιοι εἰσακούεσθαι· διὸ ἐν τῷ | Ἡσαΐᾳ λέγεται· „Ὅταν πληθύνετε τὰς εὐχὰς ὑμῶν, οὐκ εἰσακούσομαι· f. 106v αἱ γὰρ χεῖρες ὑμῶν αἵματός εἰσι πλήρεις". Ἐντεῦθεν πολλάκις οὐκ εἰσακούεται καὶ φίλος Θεοῦ, ὅταν ὑπὲρ μὴ φίλων τοῦ Θεοῦ δέηται, ὡς ἐν τῷ Ἱερεμίᾳ· „Σὺ δὲ μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, μηδ' ἀνάλαβε ὑπὲρ αὐτῶν ὕμνον ἢ εὐχήν, ὅτι οὐκ εἰσακούσομαί σου".

Ἔστι δ' ὅτε καὶ οὓς μάλιστα φιλεῖ, τούτων οὐκ ἀποπληροῖ τὰς δεήσεις, ἵν' ἀποπληρώσῃ ὃ μᾶλλον τῷ ζητοῦντι συνοίσει. Ὅθεν καὶ τὸν τῆς σαρκὸς σκόλοπα τῷ Παύλῳ τρὶς ζητήσαντι οὐ μετεκίνησεν, προειδὼς χρήσιμον αὐτῷ τοῦτ' εἶναι, πρὸς τὴν τῆς μετριοφροσύνης συντήρησιν· ὡς ἐν τῷ κατὰ Ματθαῖον εἶπεν ὁ Κύριος πρός τινας· „Οὐκ οἴδατε τί αἰτεῖσθε"· καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, οὐκ ἴσμεν". Φανερὸν οὖν, ὅτι τῶν παρὰ Θεοῦ αἰτία καὶ αἱ εὐχαὶ καὶ αἱ εὐσεβεῖς ἐπιθυμίαι. Ὥσπερ δὲ τὰς ἄλλας αἰτίας οὐκ ἀναιρεῖ ἡ θεία πρόνοια, ὡς ἐδείχθη, διὰ τὴν ἐν τῷ παντὶ τάξιν, ὅθεν οὐδὲ μάχονται αὗται τῇ προνοίᾳ, διακονοῦσι μὲν οὖν τοῖς ταύτης ἀποτελέσμασιν, οὕτω καὶ αἱ πρὸς τὸν Θεὸν

---

4 Ps. 144, 19 6 Matth. 7, 8 11 Iac. 4, 3 13 Luc. 18, 1 14 I Thess. 5, 17 17 Ps. 101, 18 22 Is. 1, 15 25 Ier. 7, 16 29 *τῷ Παύλῳ: τοῦ Παύλου* A par distraction 31 Matth. 20, 22 32 Rom. 8, 26

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006